# ΕΠΙΣΤΟΛΑΙ

## Α

St. III p. 309

### Πλάτων Διονυσίῳ εὖ πράττειν.

a Διατρίψας ἐγὼ παρ' ὑμῖν χρόνον τοσοῦτον καὶ διοικῶν τὴν ὑμετέραν ἀρχὴν πεπιστευμένος πάντων μάλιστα, τὰς ὠφελίας ὑμῶν λαμβανόντων, τὰς διαβολὰς δυσχερεῖς οὔσας ὑπέμενον· ἤδη γὰρ ὅτι τῶν ὠμοτέρων οὐδὲν ἐμοῦ συνεθέλοντος ὑμῖν δόξει πεπρᾶχθαι· πάντες γὰρ οἱ
b συμπολιτευόμενοι μεθ' ὑμῶν ὑπάρχουσί μοι μάρτυρες, ὧν ἐγὼ πολλοῖς συνηγωνισάμην, ἀπολύσας αὐτοὺς οὐ σμικρᾶς ζημίας. αὐτοκράτωρ δὲ πολλάκις τὴν ὑμετέραν πόλιν διαφυλάξας, ἀπεπέμφθην ἀτιμότερον ἢ πτωχὸν ὑμῶν ἀποστελλόντων προσήκει καὶ κελευόντων ἐκπλεῦσαι, τοσοῦτον παρ' ὑμῖν διατρίψαντα χρόνον. ἐγὼ μὲν οὖν περὶ ἐμαυτοῦ βουλεύσομαι τὸ λοιπὸν τρόπον ἀπανθρωπότερον, σὺ δὲ τοιοῦτος ὢν τύραννος οἰκήσεις μόνος. τὸ δὲ χρυσίον τὸ λαμπρόν,
c ὅπερ ἔδωκας εἰς ἀποστολήν, ἄγει σοι Βακχεῖος ὁ τὴν ἐπιστολὴν φέρων· οὔτε γὰρ ἐφόδιον ἐκεῖνό γ' ἦν ἱκανὸν οὔτε πρὸς τὸν ἄλλον βίον συμφέρον, ἀδοξίαν δὲ πλείστην τῷ διδόντι σοὶ παρασκευάζον, οὐ πολλῷ δὲ ἐλάττω κἀμοὶ λαμβάνοντι, διόπερ οὐ λαμβάνω. σοὶ δ' οὐδὲν διαφέρει δῆλον ὅτι καὶ λαβεῖν καὶ δοῦναι τοσοῦτον, ὥστε κομισάμενος ἄλλον τινὰ τῶν ἑταίρων θεράπευσον ὥσπερ ἐμέ· κἀγὼ γὰρ

Πλάτων Διονυσίῳ libri : Δίων Διονυσίῳ Ficinus (ut vid.) a 2 γρ. πάντων μάλιστα in marg. A$^3$ L$^2$ O$^2$: πᾶσι τῶν μάλιστα A L O a 3 ὠφελείας fecit A$^2$ a 4 ᾔδη A : ᾔδειν fecit A$^2$ γρ. συνεθέλοντος L$^2$ O$^2$ : συνελθόντος A L O b 1 ὧν A L O : ὡς s. v. L$^2$ O$^2$ b 6 μὲν re vera A : om. errore Hermann (cf. c 3) b 7 τὸ λοιπὸν A L : τὸν λοιπὸν vulg. c 3 πλείστην] πλείστην μὲν fecit a (μὲν s. v.) c 4 λαμβάνοντι A O : τῷ λαμβάνοντι L et τῷ s. v. a

*ἱκανῶς ὑπὸ σοῦ τεθεράπευμαι. καί μοι τὸ τοῦ Εὐριπίδου* d *κατὰ καιρόν ἐστιν εἰπεῖν, ὅτι σοὶ πραγμάτων ἄλλων ποτὲ συμπεσόντων—*

> *εὔξῃ τοιοῦτον ἄνδρα σοι παρεστάναι.*

*ὑπομνῆσαι δέ σε βούλομαι διότι καὶ τῶν ἄλλων τραγῳδοποιῶν οἱ πλεῖστοι, ὅταν ὑπό τινος ἀποθνῄσκοντα τύραννον εἰσάγωσιν, ἀναβοῶντα ποιοῦσιν—*

> *φίλων ἔρημος, ὦ τάλας, ἀπόλλυμαι·* 310

*χρυσίου δὲ σπάνει ἀπολλύμενον οὐδεὶς πεποίηκεν. κἀκεῖνο δὲ τὸ ποίημα τοῖς νοῦν ἔχουσιν οὐ κακῶς ἔχειν δοκεῖ—*

> *οὐ χρυσὸς ἀγλαὸς σπανιώτατος ἐν θνατῶν δυσελπίστῳ βίῳ,*
> *οὐδ' ἀδάμας οὐδ' ἀργύρου κλῖναι πρὸς ἄνθρωπον δοκιμαζόμεν' ἀστράπτει πρὸς ὄψεις·*
> *οὐδὲ γαίας εὐρυπέδου γόνιμοι βρίθοντες αὐτάρκεις γύαι,*
> *ὡς ἀγαθῶν ἀνδρῶν ὁμοφράδμων νόησις.*

*ἔρρωσο, καὶ γίγνωσκε τοσοῦτον ἡμῶν διημαρτηκώς, ἵνα* b *πρὸς τοὺς ἄλλους βέλτιον προσφέρῃ.*

## Β

## *Πλάτων Διονυσίῳ εὖ πράττειν.*

*Ἤκουσα Ἀρχεδήμου ὅτι σὺ ἡγῇ χρῆναι περὶ σοῦ μὴ μόνον ἐμὲ ἡσυχίαν ἄγειν, ἀλλὰ καὶ τοὺς ἐμοὺς ἐπιτηδείους τοῦ φλαῦρόν τι ποιεῖν ἢ λέγειν περὶ σέ· Δίωνα δὲ μόνον ἐξαίρετον ποιῇ. οὗτος δὲ ὁ λόγος σημαίνει, τὸ Δίωνα ἐξαί-* c *ρετον εἶναι, ὅτι οὐκ ἄρχω ἐγὼ τῶν ἐμῶν ἐπιτηδείων· εἰ*

d 5 *τραγῳδιοποιῶν* A   a 3 *κακῶς* A (sed alterum *κ* in ras. a)   a 6 *κλῖναι* A (sed *ῖ* ex emend.) : *κλίνα* L   a 7 *δοκιμαζόμενα ἀστράπτει* A (sed *ἀ* in initio versus postea add.)   a 9 *γύαι*] *γυῖαι* A L O   b 6 *σέ* A O : *σοῦ* A² (*ου* s. v.) O² (*σοῦ* s. v.)